ΣΕΠΤΕΜΒΡΙΟΥ 13

† ΑΡΙΣΤΕΙΔΗΣ ΜΑΡΤΥΣ

(Χ. Μπούσια. Ἔγκριση Ἱ. Σ. Ἐκκλ. Ἑλλ.2037/90)

ΟΡΘΡΟΣ

Μετὰ τὸν Ἑξάψαλμον,...

Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος πλ. α´.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ, α´. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τόν αἰῶνα τό ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ,β´. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ, γ´. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Ἀπολυτίκιον.

Ἦχος πλ. α´. Τὸν συνάναρχον Λόγον.

Τῷ Χριστῷ προσηνέχθης θυσία ἄμωμος, καὶ ὁλοκάρπωμα θεῖον αἰωρηθεὶς ἀπηνῶς, ἐν ἀγχόνῃ Ἀριστείδη γενναιότατε, γόνε κλεινὲ τῶν Ἀθηνῶν καὶ φιλόσοφε σεπτέ, διό σε νῦν εὐφημοῦντες, φωναῖς εὐήχοις βοῶμεν· Χριστὸν δυσώπει ὑπὲρ πάντων ἡμῶν.

Δόξα Πατρὶ... (Τὸ ὡς ἄνω)

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος, χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ, χαῖρε ἀχείμαστε λιμὴν καὶ Ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν Ποιητὴν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Ὅτι σὸν τὸ κράτος...

ΚΑΘΙΣΜΑΤΑ

Μετὰ τὴν α´Στιχολογίαν.

Ἦχος α´. Τὸν τάφον Σου Σωτήρ.

Προλάμπει τοῦ Σταυροῦ, τῆς ὑψώσεως Μάρτυς, ἡ μνήμη σου φαιδρῶς Ἀριστείδη καὶ πάντας, πρὸς αἶνον εὐφρόσυνον συγκαλεῖ τοῦ Παντάνακτος, χεῖρας τείναντος τῷ τοῦ Σταυροῦ θείῳ Ξύλῳ, καὶ ἐν σκάμμασι σὲ κραταιώσαντος Μάρτυς, ἀνδρείας κειμήλιον.

Δόξα Πατρὶ...

Καὶ νῦν...Προεόρτιον.

Τὸ Ξύλον τοῦ Σταυροῦ, οἱ πιστοὶ προσκυνοῦντες, ἐν ᾧ ὁ Λυτρωτής, τὰς παλάμας ἁπλώσας, τὸ κράτος ἐπάτησε τοῦ θανάτου καὶ ἔσωσεν, ἅπαν βρότειον, ἀπολωλὸς ἡμῶν γένος, μεγαλύνομεν, τὸν ἐν αὐτῷ ταννυθέντα, φιλάνθρωπον Κύριον.

Μετὰ τὴν β´Στιχολογίαν,

Ἦχος γ´. Τὴν ὡραιότητα.

Πόνοις ἀθλήσεως, Πάτερ ἠρίστευσας, καὶ κατετρόπωσας, ἀπίστων φάλαγγας, ὁμολογήσας σθεναρῶς τὸν Κύριον τῶν ἁπάντων, ὅθεν οὐρανίων σε, δωρεῶν κατηξίωσεν, ὁ σὲ δείξας ἄτρωτον ἀθλητὴν ἐν τοῖς σκάμμασιν, ᾧ πρέσβευε

κλεινὲ Ἀριστείδη, δοῦναι ἡμῖν πταισμάτων λύσιν.

Δόξα. Καὶ νῦν. Προεόρτιον.

Σταυρὸν τὸν τίμιον, καὶ ὑπερύμνητον, τὸν ἀνυψούμενον, εἰς ἀγαλλίασιν βροτῶν ἡ κτίσις εὐλαβῶς γεραίρει, προεορτίως θείοις μελῳδήμασι, καὶ δοξάζει τὸν Κύριον, τὸν καταδεξάμενον δι' ἡμᾶς ὡς κατάδικον ἁπλῶσαι, ἐπὶ ξύλου τὰς χεῖρας, μόνον Ἐσταυρωμένον Λόγον.

Μετὰ τὸν Πολυέλεον,
Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ὄφιν τὸν ἀρχέκακον, κατηγωνίσω, Ἀριστείδη πάνσοφε, ἀνδραγαθήσας εὐσεβῶς, καὶ νίκης κότινον εἴληφας, παρὰ Κυρίου, ὡς Μάρτυς πανάριστος.

Δόξα. Καὶ νῦν. Προεόρτιον.

Τοῦ Σταυροῦ Σου Κύριε, τὸν ζωηφόρον, ξύλον καὶ πανάγιον ἀναδησόμεθα ψαλμοῖς, βοῶντες· Χαῖρε σεβάσμιε, Σταυρὲ τοῦ κόσμου, σωτήριον σύμβολον.

Τὸ α΄Ἀντίφωνον τοῦ δ΄ ἤχου.
Ἀντίφωνον Α΄.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου. (δίς)

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμένοι. (δίς)

Δόξα.

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον. Ἦχος δ΄

Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέρδος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται. (δίς)

Στ.: Πεφυτευμένος ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέρδος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Ἡ Τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου
Ἦχος β΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

Εὐαγγέλιον Μαρτυρικόν
Ἐκ τοῦ κατὰ

Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ εὐθὺς ὁ Ν' Ψαλμὸς χῦμα.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος των οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διὰ παντὸς.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον΄ καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα Πατρὶ... Ἦχος β΄

Ταῖς τοῦ Ἀθλοφόρου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον. Ἦχος πλ. β΄

Προσενεχθεὶς ὡς θῦμα τέλειον, καὶ ἱερεῖον ἀμώμητον Χριστῷ τῷ Παντάνακτι ἤθλησας ὡς ἄσαρκος ὁπλῖτα Ἀριστείδη θεοδόξαστε. Κοινωνὸς οὖν γενόμενος τῶν παθημάτων Αὐτοῦ, Ἀθηναίων ὡράϊσμα, καὶ τῆς βασιλείας Αὐτοῦ ἀξιωθεὶς πρεσβεύεις ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Σῶσον ὁ Θεός τὸν λαόν σου...*

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.(γ)

*Ἐλέει καὶ οἰκτιρμοῖς...*

## ΚΑΝΟΝΕΣ

Κανὼν ὁ Προεόρτιος,
Ὠδὴ α΄
Ἦχος δ΄. Τριστάτας κραταιούς

Στίχ. Σταυρέ τοῦ Χριστοῦ σῶσον ἡμᾶς τῇ δυνάμει σου.

Ἀγάλλου οὐρανὲ καὶ ἡ γῆ εὐφραινέσθω, ὁ πανάγιος Σταυρός, προέρχεται ἡμᾶς, ἁγιάζων ἐν χάριτι, τοῦτον κατασπαζομένους, ὡς πηγὴν ἁγιάσματος, καὶ τῆς πάντων θεώσεως αἴτιον.

Στίχ.Σταυρέ τοῦ Χριστοῦ σῶσον ἡμᾶς τῇ δυνάμει σου.

Ῥαδίζειν εὐσεβῶς τὴν οὐράνιον τρίβον, ἐνδυνάμωσον ἡμᾶς, πανάγιε Σταυρὲ τοὺς πιστῶς προσκυνοῦντάς σε, ὅπως τὰ τῶν ἐναντίων ἀποκλίναντες βάραθρα κοινωνοὶ θείας δόξης γενώμεθα.

Στίχ.Σταυρέ τοῦ Χριστοῦ σῶσον ἡμᾶς τῇ δυνάμει σου.

Γνωστοὶ τῷ Ποιητῇ, διὰ σοῦ γεγονότες, πανσεβάσμιε Σταυρέ, καρδίᾳ καὶ ψυχῇ, προσπτυσσόμεθα πάντοτε, σὲ προκείμενον ὁρῶντες, καὶ τὸν νοῦν φωτιζόμεθα, τόν παναίτιον Λόγον δοξάζοντες

Στίχ.Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Θεοτοκίον

Ἡ πόλις τοῦ Θεοῦ, τὸ τοῦ παμβασιλέως, Θεοδόχον εὐαγὲς κειμήλιον σεπτόν, Θεοτόκε πανάμωμε, φρούρησον τὴν κληρουχίαν, τὴν ἀεὶ εὐφημοῦσάν σε, καὶ γεραίρουσαν πίστει τὸν τόκον σου.

Ὁ Κανὼν τῶν Ἐγκαινίων

ᾨδὴ α'. Ἦχος δ'. Θαλάσσης, τὸ ἐρυθραῖον...

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὁ στύλῳ καθοδηγῶν τὸ πρότερον τὸν ἐκλεκτὸν Ἰσραήλ, διὰ λουτροῦ βαπτίσματος Χριστέ, ἐν Σιὼν κατεφύτευσας τὴν Ἐκκλησίαν κράζουσαν· Ἄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σήμερον, τῆς ἀπροσίτου δόξης σου, ἡ ἐπιφοίτησις, τὸν ἐπὶ γῆς παγέντα σοι ναόν, οὐρανὸν κατεσκεύασεν, ἐν ᾧ συμφώνως ψάλλομεν· Ἄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Οὐ νόμῳ, ἡ Ἐκκλησία Κύριε, ἐγκαλλωπίζεται, οὐ δουλικῶν ἐκτάσεσι χειρῶν, τοῦ Σταυροῦ δὲ τῇ χάριτι, ἐγκαυχωμένη ψάλλει σοι· Ἄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν.

Στίχ.Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Θεοτοκίον

Ἀσπόρως, τῷ τοῦ Πατρὸς βουλήματι, ἐκ θείου Πνεύματος, τὸν τοῦ Θεοῦ συνείληφας Υἱόν, καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ Πατρὸς ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

Τοῦ Ἁγίου ᾨδὴ α'.

Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ἐλέησον Κύριε τὸν ὑπεράθλιον δοῦλόν σου, καὶ λόγους μοι δώρησαι τοῦ ἀνυμνῆσαι φαιδρῶς, τὰ παλαίσματα, τοῦ θείου Ἀριστείδου, ὁπλῖτου τῆς πίστεως πάνυ ἀλκίφρονος.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ὑψίστου ὡραΐσας τὴν Ἐκκλησίαν ἀγῶσί σου, καὶ χθόνα ἡγίασας τῶν Ἀθηνῶν ὀχετοῖς, τῶν αἱμάτων σου, τρισμάκαρ Ἀριστείδη, βραβεῖα δεξάμενος αἰωνιότητος.

Δόξα...

Ψαλμοῖς καταστέφομεν τὴν παναοίδιμον μνήμην σου, καὶ ᾄσμασι μέλπομεν τὴν τῶν σῶν πόνων πληθύν, δι᾽ ὧν ἔθραυσας, ἰσχὺν τοῦ παλαιμναίου, φιλόσοφε πάντιμε πίστεως ἔρεισμα.

Καὶ νῦν...Θεοτοκίον

Ὑμνεῖν δεῖ σε Ἄχραντε Θεοχαρίτωτε Δέσποινα, παλάτιον ἔμψυχον τοῦ παναγάθου Θεοῦ, καὶ ἐν ᾄσμασι, δαβιτικῶς σὲ μέλπειν, τὴν γάλακτι θρέψασαν τοῦ Παντοκράτορος.

Κανὼν α΄, Ὠδὴ γ΄, Προεόρτιος

Ἦχος δ΄

Ὁ Εἱρμὸς «Οὐκ ἐν σοφίᾳ

Στίχ. Σταυρέ τοῦ Χριστοῦ σῶσον ἡμᾶς τῇ δυνάμει σου.

Δόξαν Χριστοῦ σε, χρηματίσαντα πίστει δοξάζομεν, δοξαζόμενοι ταῖς σαῖς, δεδοξασμένε Κυρίου Σταυρέ, σεπταῖς περιπτύξεσι, καὶ φωτιζόμενοι.

Στίχ. Σταυρέ τοῦ Χριστοῦ σῶσον ἡμᾶς τῇ δυνάμει σου.

Ἐν εὐφροσύνῃ, προσελθόντες Πιστοὶ ἀρυσώμεθα, ὡς ἐκ κρήνης καθαρᾶς Σταυροῦ, ἀείζωα νάματα, καὶ διασῳζόμενοι, Θεὸν ὑμνήσωμεν.

Στίχ. Σταυρέ τοῦ Χριστοῦ σῶσον ἡμᾶς τῇ δυνάμει σου.

Ζωὴ ὑπάρχων, Ἰησοῦς κρεμασθεὶς τεθανάτωται, ἐπὶ ξύλου τοῦ Σταυροῦ· ὃν νῦν πιστῶς προσπτυσσόμενοι, πάθη ἀποφεύγομεν, θανάτου πρόξενα.

Στίχ. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς. Θεοτοκίον

Ἐπιφανεῖσα, τῆς ψυχῆς μου τὸ σκότος ἀπέλασον, ἁμαρτίας τὰς σειρᾶς, ἁγνὴ Παρθένε διάρρηξον, σῶσόν με κυήσασα, τὸν Πανοικτίρμονα.

Κανὼν β΄, Ὠδὴ γ΄, τῶν Ἐγκαινίων

Ἦχος δ΄

Εὐφραίνεται ἐπὶ σοὶ

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἡγίασας ἐπὶ γῆς, τὴν Ἐκκλησίαν σου Χριστὲ Πνεύματι, χρίσας αὐτὴν σήμερον, σῆς ἀγαλλιάσεως ἔλαιον.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Θεμέλιόν σε Χριστέ, ἡ Ἐκκλησία ἀρραγὲς ἔχουσα, τῷ σῷ Σταυρῷ στέφεται, ὡς βασιλικῷ διαδήματι.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἀνέδειξας ἀγαθέ, τὴν χειροποίητον σκηνὴν σήμερον, τῆς ὑπὲρ νοῦν δόξης σου, οἰκονομικῶς οἰκητήριον.

Στίχ. Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς. Θεοτοκίον

Σὺ μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, Μήτηρ Θεοῦ γέγονας· ὅθεν σοι τὸ χαῖρε προσάγομεν.

Τοῦ Ἁγίου Ὠδὴ γ΄.

Ἦχος δ΄ Τοὺς σοὺς ὑμνολόγους.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Χορεύει σὺν τάξεσι Ἀγγέλων, περὶ τὸν Παντάνακτα Θεόν, ὡς Μάρτυς καρτερότατος, καὶ ἔνθεος

φιλόσοφος, κατηξιώθης ἄριστε, χριστιανῶν ἔμπνουν στήριγμα.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ὁδὸν τῆς ἀθλήσεως ἀνύσας, γηθόμενος ἤνεγκας στεῤῥῶς, βασάνων τὸ ἐπώδυνον, καὶ αἰκισμῶν τὸ ἄμετρον, σοφῶς ἀποσκοπούμενος, πρὸς δόξαν ὄντως τὴν ἄπονον.

Δόξα...

Νικήσας σαρκός σου τὰς ὀρέξεις, καὶ πάσας βουλὰς τοῦ δυσμενοῦς, σπαράξας ὡς ἀήττητος, Χριστοῦ ὁπλίτης ἤθλησας, καὶ δάφνης στέφος εἴληφας, ὦ Ἀριστείδη ἀμάραντον.

Καὶ νῦν...Θεοτοκίον

Μὴ φλέξας τὴν μήτραν σου ὁ μόνος, ὑπάρχων πῦρ Ἅγιος Θεός, ἐκ Σοῦ ἐτέχθη Πάναγνε, Θεόνυμφε Παντάνασσα, καὶ πρόξενον ἐποίησε, σὲ τῆς μερόπων θεώσεως.

Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις

Σὺ γὰρ εἶ ὁ Βασιλεὺς...

Κάθισμα.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Χριστὸν ὡμολόγησας, ἐν ταῖς Ἀθήναις λαμπρῶς, καὶ ἤθλησας ἄριστα τοῦ παμβεβήλου βουλάς, πατάξας στεῤῥότατα, ὅθεν καὶ περατώσας, δι᾽ ἀγχόνης σὸν βίον, στέφανον ἐξεδρέψω, Ἀριστείδη γενναῖε, τῆς δόξης τῆς ἀφάτου χρυσοῦν καὶ πολυτίμητον.

Δόξα. Προεόρτιον. Ὅμοιον.

Ὠδὴν προεόρτιον, τῷ τοῦ Κυρίου Σταυρῷ, χοροὶ εὐσεβόφρονες ἐν κατανύξει ψυχῆς, πιστῶς ἀναμέλψωμεν, χεῖρας γὰρ ὁ Δεσπότης, ἐπὶ τούτου ἁπλώσας, ἥνωσε διεστῶτα τὰ τὸ πρὶν καὶ τῷ κόσμῳ, ἐδώρησεν ὡς μόνος Θεός, βίον αἰώνιον.

Καὶ νῦν. Τῶν Εγκαινίων Θεοτοκίον.. Ὅμοιον.

Ἐν πίστει τὰ Ἐγκαίνια, ἐπιτελοῦμεν φαιδρῶς, τοῦ οἴκου σου Ἄχραντε, εὐλογημένη ἁγνή, Παρθένε πανύμνητε· χαίροντες τῇ ἐλπίδι, τῇ εἰς σὲ Θεοτόκε, αἰτοῦμέν σε τοῦ πρεσβεύειν, τῷ Σωτῆρι ἀπαύστως, αὐτῷ τῷ σαρκωθέντι ἐκ σοῦ, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἀκαταπλήκτῳ ἐναθλήσας καρδίᾳ, ἐν ταῖς Ἀθήναις Ἀριστείδη στεῤῥόφρον, κατέβαλες τὸν δόλιον Βελίαρ σαφῶς, καὶ Μαρτύρων τάγμασι χαίρων συνηριθμήθης, μαθητὰ περίδοξε, τοῦ Ἀρεοπαγίτου Διονυσίου, ἅμα τοῦ κλεινοῦ Ἱεροθέου, φιλόσοφε ἔνθεε.

Ὁ Οἶκος.

Τὰ στίγματα τοῦ Κυρίου βαστάζων ἐν σώματι, καὶ ἀπαρνησάμενος πᾶν ῥέον καὶ πρόσκαιρον, πρὸς μαρτυρικὰ ἐχώρησας σκάμματα, ὁπλῖτα περίδοξε. Σὺ γὰρ ὑπεραμυνόμενος τοῦ χριστεπωνύμου λαοῦ, καὶ ὑπὸ θείου ἔρωτος τιτρωσκόμενος, εὐτόλμως ἐκήρυξας τὸ πάντιμον τοῦ Κυρίου ὄνομα, ἀψηφῶν βασάνους καὶ θάνατον. Τελέσας οὖν δι᾽ ἀγχόνης καλῶς τὸν ἀγῶνά σου ἐν Ἀθήναις, καὶ τῶν οὐρανίων θαλάμων πολίτης γενόμενος, ἀεὶ δυσώπει διδόναι ἡμῖν τὸ ἄμετρον ἔλεος, Ἀριστείδη φιλόσοφε ἔνθεε.

Συναξάριον.

Τῇ ΙΓ΄ τοῦ μηνός Σεπτεμβρίου, Μνήμη τῶν Ἐγκαινίων τοῦ Ναοῦ τῆς ἁγίας τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν Ἀναστάσεως.

Στίχοι

Νόμον παλαιὸν Ἰσραὴλ πληρῶν νέος,

Ἐγκαινίοις σοι τὸν τάφον τιμᾷ Λόγε.

Τύχθη ἀναστάσεως τρισκαιδεκάτῃ καινισμός.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἀριστείδου, μαθητοῦ Διονυσίου τοῦ Ἀρεοπαγίτου καί Ἱεροθέου Ἀθηνῶν.

Στίχοι:

Ἀριστεὺς ὀφθεὶς Ἀθλητῶν Ἀριστείδη,

Κλεινῶν Ἀθηνῶν ἐπορφύρωσας χθόνα.

Οὗτος ἦν Ἀθηναίος φιλόσοφος ἐνδόξου γένους καὶ ἤθλησεν ἐν τῇ πατρίδι αὐτοῦ ἐπὶ Ἀνδριανοῦ τῷ 120 μ. Χ. Ἐχρημάτισε μαθητὴς τοῦ Διονυσίου τοῦ Ἀρεοπαγίτου καὶ τοῦ Ἱεροθέου, μυηθεὶς ὑπ᾽ αὐτῶν τῇ εἰς Χριστὸν εὐσεβείᾳ. Ὑπεραμυνόμενος τῶν διωκομένων χριστιανῶν, συνέγραψεν ἀπολογίαν, ἥν ἀπέστειλε τῷ Ἀνδριανῷ. Κηρύττων παῤῥησίᾳ τὸν Κύριον, ὑπεβλήθη εἰς πλῆθος βασάνων καὶ ἐτελείωσε δι᾽ ἀγχόνης τὸ μαρτύριον κρεμασθεὶς ἐν τῇ ἀγορᾷ τῶν Ἀθηνῶν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Κορνηλίου τοῦ Ἑκατοντάρχου.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Κρονίδου, Λεοντίου, Σεραπίωνος, Στράτωνος, Σελεύκου, Μακροβίου, Γορδιανοῦ, Ζωτικοῦ, Ἠλεί, Λουκιανοῦ, καὶ Οὐαλεριανοῦ.

Ὁ ὅσιος πατὴρ ἡμῶν Πέτρος ὁ ἐν τῇ Ἀγρέᾳ ἐν εἰρήνῃ τελειοῦται.

Ὁ ὅσιος νέος Ἱερόθεος ὁ Ἰβηρίτης, ὁ κατὰ τὸ 1720 ἀκμάσας, ἐν εἰρήνῃ τελειοῦται.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

ΚΑΤΑΒΑΣΙΑΙ

Καταβασίαι τῆς Ὑψώσεως τοῦ Τιμίου Σταυροῦ.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄.

Σταυρὸν χαράξας Μωσῆς, ἐπ΄ εὐθείας ῥάβδῳ, τὴν Ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι, τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι, κροτήσας ἥνωσεν, ἐπ΄ εὔρους διαγράψας, τὸ ἀήττητον ὅπλον. Διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Ὠδὴ γ΄.

Ῥάβδος εἰς τύπον τοῦ μυστηρίου παραλαμβάνεται, τῷ βλαστῷ γὰρ προκρίνει τὸν ἱερέα. Τῇ στειρευούσῃ δὲ πρώην, Ἐκκλησίᾳ νῦν ἐξήνθησε, ξύλον Σταυροῦ,εἰς κράτος καὶ στερέωμα.

Ὠδὴ δ΄.

Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν θεότητα.

Ὠδὴ ε΄.

Ὢ τρισμακάριστον ξύλον! ἐν ᾧ ἐτάθη Χριστός, ὁ Βασιλεὺς καὶ

Κύριος΄ δι᾽ οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δελεασθείς, Θεῷ τῷ προσπαγέντι σαρκί, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Ὠδὴ ς΄.

Νοτίου θηρὸς ἐν σπλάγχνοις, παλάμας Ἰωνᾶς, σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον πάθος προδιετύπου σαφῶς. Ὅθεν τριήμερος ἐκδύς, τὴν ὑπερκόσμιον Ἀνάστασιν ὑπεζωγράφησε, τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ ἐγέρσει τὸν κόσμον φωτίσαντος.

Ὠδὴ ζ΄.

Ἔκνοον πρόσταγμα τυράννου, δυσσεβοῦς, λαοὺς ἐκλόνησε, πνέον ἀπειλῆς, καὶ δυσφημίας θεοστυγοῦς. Ὅμως τρεῖς Παῖδας οὐκ ἐδειμάτωσε θυμὸς θηριώδης, οὐ πῦρ βρόμιον΄ ἀλλ΄ ἀντηχοῦντι δροσοβόλῳ πνεύματι, πυρὶ συνόντες ἔψαλλον΄ ὁ ὑπερύμνητος τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Εὐλογεῖτε Παῖδες, τῆς Τριάδος ἰσάριθμοι, Δημιουργὸν Πατέρα Θεόν, ὑμνεῖτε τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα, καὶ ὑπερυψοῦτε, τὸ πᾶσι ζωὴν παρέχον, Πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας.

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...

ΤΙΜΙΩΤΕΡΑ (Ἦχος πλ. δ΄)

Στίχ. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν Τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν Τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν Τιμιωτέραν...

Στίχ. Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.

Τὴν Τιμιωτέραν...

Στίχ. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν Τιμιωτέραν...

Καταβασία. Ὠδὴ θ΄.

Μυστικὸς εἶ Θεοτόκε Παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστόν, ὑφ᾽ οὗ τὸ τοῦ Σταυροῦ ζωηφόρον ἐν γῇ, πεφυτούργηται δένδρον. Διὸ νῦν ὑψουμένου προσκυνοῦντες αὐτόν, σὲ μεγαλύνομεν.

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

Ἐξαποστειλάριον.

Ἦχος γ΄. Ὁ οὐρανὸν ἐν τοῖς ἄστροις.

Τῇ τοῦ Χριστοῦ ἀγάπῃ ὑπῆλθες τὸ μαρτυρικὸν σκάμμα, κλεινὲ Ἀριστείδη, περιχαρῶς καὶ τοῦ ἐχθροῦ τὴν πλάνην ᾔσχυνας τάχος· διό σε ὕμνοις τιμῶμεν.

Προεόρτιον, ὅμοιον.

Ἀπολλυμένων μωρία καὶ σωζομένων ἡ ἰσχύς, Σταυρὲ Κυρίου, ὑπάρχεις, στῦλε ἁπάντων τῶν πιστῶν· σὲ γὰρ ἡγίασεν ὄμβροις αἱμάτων ὁ Ζωοδότης.

ΑΙΝΟΙ . Ἦχος α΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Διονυσίου τοῦ θείου καὶ τοῦ θεόφρονος Ἱεροθέου λόγοις τοῖς σοφοῖς, Ἀριστείδη, πειθόμενος ἐγένου τῆς ἀρετῆς τιμαλφὲς ἐνδιαίτημα καὶ ἀληθοῦς εὐσεβείας ὑπογραμμός, Ἀθηναίων ἐγκαλλώπισμα.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Χριστιανῶν τρυχομένων ἔνθεον στήριγμα ἐπώφθης, Ἀριστείδη, καλλιμάρτυς γενναῖε, καὶ κῆρυξ διαπρύσιος τῆς σεπτῆς ἀκραιφνοῦς ἡμῶν πίστεως· διὸ σὲ πάντες, φιλόσοφε εὐκλεές, ἐν ᾠδαῖς εὐσήμοις μέλπομεν.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Τοῖς τῶν ἰχώρων σου ὄμβροις χθόνα κατήρδευσας τῆς σῆς κλεινῆς πατρίδος καὶ ἐμάρανας πλάνης ἀκάνθας καὶ τριβόλους τὰς ζοφεράς, Ἀριστείδη θεσπέσιε· διὸ καὶ χαίρων ἐτέλεσας βιοτὴν ἐν ἀγχόνῃ τὴν σὴν βρότειον.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Τῆς ἀφθαρσίας τῷ στέφει καλλωπιζόμενος ὡς ἀθλητὴς Κυρίου, Ἀριστείδη ἀλκίφρον, ἀπαύστως ἐκδυσώπει τὸν Λυτρωτὴν ἐκλυτροῦσθαι τοὺς μέλποντας ψαλμοῖς καὶ ὕμνοις τὴν μνήμην σου ἐκ δεινῶν, πειρασμῶν καὶ περιστάσεων.

Δόξα. Ἦχος πλ. α΄.

Τῷ φωτὶ τῆς πίστεως καταλαμπόμενος τέκνον τοῦ ἀϊδίου φωτὸς ἀνεδείχθης, Ἀριστείδη παμμακάριστε· τὸν γὰρ καλὸν ἀγῶνα δι' ἀγχόνης τελέσας τὸν παμβέβηλον βασιλέα τοῦ σκότους καθεῖλες ἀθλητικῇ ἐνστάσει· ἀλλ' ὡς ἔχων παῤῥησίαν πρὸς Θεόν, Ἀθηναίων θησαύρισμα, πρέσβευε εἰρήνην δωρήσασθαι τοῖς σὲ μακαρίζουσι.

Καί νῦν. *Θεοτοκίον* *Ἦχος πλ. α'*

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγήν τῶν ψυχῶν ἡμῶν.

*Δοξολογία Μεγάλη. Ἦχος πλ. α'*

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα΄ Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἅγιος ὁ Θεός,

Ἅγιος Ἰσχυρός,

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ἀπολυτίκιον.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τῷ Χριστῷ προσηνέχθης θυσία ἄμωμος, καὶ ὁλοκάρπωμα θεῖον αἰωρηθεὶς ἀπηνῶς, ἐν ἀγχόνῃ Ἀριστείδη γενναιότατε, γόνε κλεινὲ τῶν Ἀθηνῶν καὶ φιλόσοφε σεπτέ, διό σε νῦν εὐφημοῦντες, φωναῖς εὐήχοις βοῶμεν· Χριστὸν δυσώπει ὑπὲρ πάντων ἡμῶν.

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

ΑΝΤΙΦΩΝΑ ( τῆς ἑορτῆς)

Ἀντίφωνον Α΄

Ἦχος β΄.

Στίχ. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρί...Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Ἀντίφωνον Β΄. Ἦχος β΄.

Στίχ. Αἴνει, ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Στίχ.. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.

Σῶσον, ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Δόξα Πατρὶ... Καὶ νῦν...

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρω-θείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ΄

Ἦχος α΄.

Στίχ. α΄. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Ἀπολυτίκιον.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τῷ Χριστῷ προσηνέχθης θυσία ἄμωμος, καὶ ὁλοκάρπωμα θεῖον αἰωρηθεὶς ἀπηνῶς, ἐν ἀγχόνῃ Ἀριστείδη γενναιότατε, γόνε κλεινὲ τῶν Ἀθηνῶν καὶ φιλόσοφε σεπτέ, διό σε νῦν εὐφημοῦντες, φωναῖς εὐήχοις βοῶμεν· Χριστὸν δυσώπει ὑπὲρ πάντων ἡμῶν.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Ἀπολυτίκιον.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τῷ Χριστῷ προσηνέχθης θυσία ἄμωμος, καὶ ὁλοκάρπωμα θεῖον αἰωρηθεὶς ἀπηνῶς, ἐν ἀγχόνῃ Ἀριστείδη γενναιότατε, γόνε κλεινὲ τῶν Ἀθηνῶν καὶ φιλόσοφε σεπτέ, διό σε νῦν εὐφημοῦντες, φωναῖς εὐήχοις βοῶμεν· Χριστὸν δυσώπει ὑπὲρ πάντων ἡμῶν.

Μικρὰ Εἴσοδος.

Εἰσοδικὸν

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός,, (ὁ β΄ χορὸς) ψάλλοντάς σοι, Ἀλληλούϊα.

Ἀπολυτίκιον.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τῷ Χριστῷ προσηνέχθης θυσία ἄμωμος, καὶ ὁλοκάρπωμα θεῖον αἰωρηθεὶς ἀπηνῶς, ἐν ἀγχόνῃ Ἀριστείδη γενναιότατε, γόνε κλεινὲ τῶν Ἀθηνῶν καὶ φιλόσοφε σεπτέ, διό σε νῦν εὐφημοῦντες, φωναῖς εὐήχοις βοῶμεν· Χριστὸν δυσώπει ὑπὲρ πάντων ἡμῶν.

Ἀπολυτίκιον τοῦ Ναοῦ

Κοντάκιον τῶν Ἐγκαινίων

Ἦχος δ΄ Ἐπεφάνης σήμερον

Οὐρανὸς πολύφωτος ἡ Ἐκκλησία, ἀνεδείχθη ἅπαντας, φωταγωγοῦσα τοὺς πιστούς· ἐν ᾧ ἑστῶτες κραυγάζομεν· Τοῦτον τὸν οἶκον, στερέωσον Κύριε.

Τρισάγιον Ἀποστόλου

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. γ΄

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δύναμις.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

## ΑΠΟΣΤΟΛΟΣ ΤΟΥ ΑΓΙΟΥ

Προκείμενον. Ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ.

Στίχ. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

Πρὸς Τιμόθεον Β΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ, καὶ ἃ ἤκουσας παρ᾽ ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. Σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰη-

σοῦ Χριστοῦ. Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. Νόει ἃ λέγω· δῴη γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι. Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαυΐδ, κατὰ τὸ εὐαγγέλιόν μου, ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος· ἀλλ᾽ ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. Διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου.

Ἀλληλούϊα (γ΄). Ἦχος Β΄.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. β΄. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου

Εἰς τὸ Ἐξαιρέτως

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Κοινωνικὸν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

ἦχος β΄

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Ἀμὴν ἀμὴν ἀμὴν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον.

Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς τῶν ἁγίων σου μετασχεῖν μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

ἦχος β΄

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (τρὶς)

Ἀπόλυσις

Ἡ Μεταφορὰ Κειμένων

Καλλιτεχνικὴ ἐπιμέλεια

ἔγινε ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη

Ἱεροψάλτη

στὸν Ι.Ν. Ἁγίου Γεωργίου

Κουλούρας Βέροιας.